Περὶ Ἐτυμολογίας.

Δ. Τί ἐστὶν ἐτυμολογία;

Μ. Ἐτυμολογία, ἤτοι τὸ ἔτυμον λέγειν, ἐστὶ μετάληψις τοῦ ὀ-
νόματος εἰς ἄλλον ἑρμηνευτικὸν τοῦ αὐτοῦ ὀνόματος· οἷον ἄνθρω-
πος ἐστὶν ὁ ἀναθρῶν ἃ ὄπωπε, τουτέστιν ὁ θεωρῶν τὰ ὁρατά,
ἀλλ' οὐ μὴ ὥσπερ τὰ ζῶα, ὁρῶν μόνον· ὁ ἄνθρωπος δὲ καὶ θεωρεῖ. τοιοῦ-
τον λέγειν τὸν ἄνθρωπον λέγεται ἄνθρωπον παρὰ τὸ θεωρεῖν ἃ ὄπωπεν,
ἐστὶν ὁ ἑρμηνευτικὸς λόγος τοῦ τοῦ αὐτοῦ ὀνόματος. ὥσπερ καὶ ὅταν
λέγωμεν φιλοσοφία ἐστὶν ἡ φιλοῦσα τὴν σοφίαν δηλ: τὸ τῆς φιλοσοφίας,
τὸ ἔτυμον τοῦ ὀνόματος ἀναπτύσσομεν, καὶ αὐτὸ τῶν λογικῶν ὡσαύτως.

Δ. Πῶς δὲ καὶ αὐτὸ τοῦτο τὸ λέγεσθαι τῆς ἐτυμολογίας μεταχειριζόμεθα;

Μ. Ἐπιχειροῦμεν καὶ αὐτὸ τοῦτο κατὰ τὸν καὶ τῶν ἀνωτέρω εἰρημένων
τρόπον. τουτέστι πρῶτον κατασκευάσαντες καὶ ἐνθυμηθέντες ἑρμη-
νεύσαντες αὐτὴν τὴν εἰς ἀπόδειξιν ἡμῖν προτεθεῖσαν ἐτυμο-
λογίαν, εἶτα ἐξ αὐτῆς ἐπισυνάπτομεν αὐτὸ δὴ τὸ ἐτυμο-
λογούμενον. εἰ δ' αὖ τὸ ἐτυμολογούμενον εἰς δεῖξιν ἡμῖν
προτεθῇ, πρῶτον κατασκευάζομεν αὐτό, ἔπειτα
ἐξ αὐτοῦ εἰς τὴν αὐτοῦ ἐτυμολογίαν συμπεραίνομεν. κατασκευασ-
τέον μὲν γὰρ ἑκάτερον τούτων, καὶ ἑκάτερον συγκατασκευάζεται καὶ ἀναιρεῖται,
συναναιρεῖται καὶ συγκατασκευάζεται ἅμα δὲ καὶ αὐτοῖς ἀνωτέρω
τόποις μεταχειριζόμεθα. οἷον εἰς φιλοσοφίαν καὶ τοιοῦτόν τι ἐπι-
δείξομεν ἔστω· "Ἔργον θεοφιλὲς καὶ ψυχωφελὲς ἐστὶν ἡ τῆς
σοφίας φιλία καὶ ἀγάπη, ἄρα καὶ ἡ φιλοσοφία ἔργον ἐστὶ θεο-
φιλὲς καὶ ἔτι μάλιστα ψυχωφελὲς διὰ τὴν τοῦ ὀνόματος ἐτυμολογίαν καὶ ἐ-
παγγελίαν ὄνομα.